## LXXII. — Ὅτι ἀναγκαῖον ἡ μετάνοια, καὶ περὶ τῶν μερῶν αὐτῆς.

Διότι οὖν ἀδύνατον τὸν μετὰ τὸ βάπτισμα ἁμαρτόντα διὰ βαπτίσματος αὖθις τὴν χάριν εὑρεῖν, καὶ ἄνευ θεραπείας οὐκ ἠνέσχετο ἡ θεία φιλανθρωπία παροραθῆναι τὸν ἄνθρωπον, ἐδόθη τὸ τῆς μετανοίας μυστήριον. Ὡς γὰρ οἱ νοσοῦντες οὐκ ἀπαλλάττονται τῆς νόσου πάλιν γεννώμενοι, ἀλλὰ ἀλλοιώσει τινὶ θεραπευόμενοι, οὕτως καὶ οἱ μετὰ τὸ βάπτισμα ἁμαρτόντες οὐκ ἀνακάμπτοντες ἐπ' αὐτό, ἀλλὰ θεραπείᾳ τινὶ πνευματικῇ ἑτέρᾳ, τῇ τῆς μετανοίας, θεραπεύονται, ὥσπερ ἀλλοιώσει τινὶ πνευματικῇ. Δεῖ δὲ ἐν τῷ μυστηρίῳ τῆς μετανοίας τὴν πνευματικὴν ὑγείαν καὶ ἔνδοθεν καὶ ἔξωθεν προϊέναι. Ἐπεὶ οὖν διὰ τῆς ἁμαρτίας ὁ ἄνθρωπος τρισὶ βλαβεροῖς περιπίπτει, πρῶτον τῇ τῆς διανοίας ἀταξίᾳ, καταλείπων μὲν τὸ ἀμετάβλητον ἀγαθὸν τὸν Θεόν, ἐπιστρέφων δὲ πρὸς τὴν ἁμαρτίαν· δεύτερον, τῇ ἐνοχῇ τῆς δίκης· τρίτον τῇ πρὸς τὸ ἀγαθὸν παρέσει, πρὸς τὴν ἁμαρτίαν ἐπιρρεπέστερος γινόμενος καὶ πρὸς ἀρετὴν ἀργότερος· τὸ μὲν πρῶτον ἴαται τῇ συντριβῇ, καὶ αὕτη ἡ συντριβὴ ἔνδοθεν πρόεισι, τουτέστιν ἐκ τοῦ αὐτεξουσίου, τῆς θείας χάριτος βοηθούσης· τὸ δὲ δεύτερον, τῇ ἑκουσίῳ δίκῃ προσκαίρῳ· καὶ ἐπεὶ ταύτην τὴν δίκην διὰ τῶν ἑαυτοῦ διακόνων ὁ Χριστὸς λαμβάνει, οὐδεὶς δὲ ἄνθρωπος δύναται κρίνειν περὶ ἁμαρτιῶν, ἃς ἀγνοεῖ, ἡ ἐξομολόγησις πρὸς τοῦτο τέτακται, δεύτερον μέρος οὖσα τοῦ μυστηρίου τῆς μετανοίας. Ἔχει δὲ ὁ τοιοῦτος τοῦ Χριστοῦ ὑπηρέτης δικαστικὴν ἐξουσίαν ἀντὶ τοῦ Χριστοῦ, ὅς ἐστι κριτὴς ζώντων καὶ νεκρῶν. Δυοῖν δὲ πρὸς τὴν δικαστικὴν ἐξουσίαν ζητουμένων, | τῆς τε ἀρχῆς τοῦ (f. 183) διαγινώσκειν περὶ τῆς ἁμαρτίας καὶ τῆς τοῦ καταδικάζειν ἢ ἀποψηφίζεσθαι δυνάμεως, καὶ τὰ δύο ἔχει ὁ τοῦ Χριστοῦ διάκονος, ἅ εἰσιν αἱ δύο τῆς Ἐκκλησίας κλεῖς, αἱ τῷ Πέτρῳ δοθεῖσαι, οὐχ ὥστε αὐτὸν μόνον ἔχειν, ἀλλ' ὥστε καὶ ἐπὶ τοὺς ἄλλους κατελθεῖν. Αἱ κλεῖς τὴν δύναμιν ἀπὸ τοῦ πάθους ἔχουσι τοῦ Χριστοῦ, δι' οὗ ἡμῖν τὴν τῆς οὐρανίου βασιλείας ἤνοιξε πύλην. Καὶ διὰ τοῦτο, ὡς ἄνευ βαπτίσματος, ἐν ᾧ ὁ τοῦ Χριστοῦ θάνατος ἐνεργεῖ, ἀδύνατον εἶναι σωτηρίαν ἐν τοῖς ἀνθρώποις ἢ καὶ αὐτὸ τὸ πρᾶγμα λαβεῖν ὀφείλουσιν, ἢ καὶ κατὰ πρόθεσιν ἐπιθυμῆσαι, ὅταν ᾖ πᾶσα ἀνάγκη ἀλλὰ μὴ καταφρόνησις τοῦ μυστηρίου, οὕτω καὶ τοῖς μετὰ τὸ βάπτισμα ἁμαρτοῦσιν ἀμήχανον σωτηρίας τυχεῖν μὴ ταῖς τῆς ἐκκλησίας κλεισὶν ἑαυτοὺς ὑποθέντας ἢ κατ' ἐνέργειαν ἐξομολογησαμένους, ἢ τοὐλάχιστον προθεμένους, ὥστε καὶ κατὰ τὸν ἐπιτήδειον τελέσαι καιρόν. Οὐ δύνανταί τε οἱ τῆς Ἐκκλησίας ἡγούμενοι χωρὶς ἐξομολογήσεως συγχωρεῖν, ἤγουν τὰς τῆς Ἐκκλησίας κλεῖς ματαίας ποιεῖν. Οὐδὲ γὰρ ἄνευ βαπτίσματος δύνανται οἰκονομῆσαι σωθῆναι τινά· οὐδὲν δὲ κωλύει τῷ ἐξομολογησαμένῳ διὰ τὴν χάριν τῶν κλειδῶν καὶ χάριν δίδοσθαι, δι' ἧς ἡ ἁμαρτία ἀφίεται· κἀντεῦθεν ὁ τῆς Ἐκκλησίας διάκονος τῇ δυνάμει τῶν κλειδῶν ἀφίησι

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τι τῆς προσκαίρου κολάσεως, ἧς μετὰ τὴν συντριβὴν ὁ μετανοῶν εἶναι ὀφειλέτης κατελιμπάνετο· πρὸς δὲ τὸ ὑπόλοιπον τὸν μετανοοῦντα δεσμοῖ· τὸ δὲ τὸ ὑπόλοιπον διαλύσασθαι χρέος ἱκανοποίησις λέγεται, ὅπερ ἐστὶ τρίτον μέρος τῆς μετανοίας, δι' ἧς ὁ ἄνθρωπος τῆς περὶ τὴν ἁμαρτίαν ἐνοχῆς ἀπολύεται, ἣν ὀφείλει δίκην ἀποδιδούς. Οὐ πᾶς δὲ ἱερεὺς παντὶ δύναται συγχωρεῖν, ἀλλ' ἐκείνῳ μόνον πρὸς ὃν ἔλαβεν ἐξουσίαν.

## LXXIII. — Περὶ τοῦ μυστηρίου τοῦ εὐχελαίου.

Ἐπεὶ δέ ποτε οἰκονομίᾳ τῆς θείας κρίσεως ἐκ τῆς τῆς ψυχῆς ἀρρωστίας νόσος τις ἐπὶ τὸ σῶμα διαδίδοται, ἣ πολλάκις πρὸς τὴν ψυχικὴν χρησιμεύει ὑγείαν τῷ φέροντι τὴν σωματικὴν ἀρρωστίαν μετρίως καὶ μακροθύμως· τοῦτο γὰρ τῆς ὀφειλομένης δίκης ἀντισήκωσις γίνεται, πολλάκις δὲ καὶ κώλυμα τῆς πνευματικῆς γίνεται σωτηρίας, κωλυομένων τῶν ἀρετῶν δι' αὐτὴν τὴν νόσον, εἰκότως ἐδέησε, πρὸς τὴν ἁμαρτίαν, πνευματικῆς ἰατρείας, ἐξ ἧς ἡ σωματικὴ νόσος εἴληφε τὴν αἰτίαν, δι' ἧς ἰατρείας καὶ
f. 188v ἡ σωματικὴ πολλάκις ὑγιάζεται νόσος, ὅταν | δηλαδή, συμφέροι πρὸς σωτηρίαν· καὶ πρὸς τοῦτο, τὸ μυστήριον τῆς τελευταίας χρίσεως τέτακται, ὡς ἐν τῇ Ἰακώβου ἐπιστολῇ· „Ἀσθενεῖ τις ἐν ὑμῖν; προσκαλεσάσθω τοὺς πρεσβυτέρους", καὶ τὰ ἑξῆς. Οὐδὲν δὲ πρόκριμα τῇ δυνάμει τοῦ μυστηρίου ποιεῖ, εἰ μὴ ἐξ ἀνάγκης ἀπαλλάττοι τῆς σωματικῆς ἀρρωστίας. Ἔστι γὰρ ὅτε τὸ θεραπευθῆναι σωματικῶς οὐ χρησιμεύει πρὸς τὴν πνευματικὴν σωτηρίαν· ἀλλὰ καὶ οὕτως ὠφελίμως λαμβάνεται τὸ μυστήριον, πρὸς τοὺς ἄλλους δηλαδὴ τῆς ἁμαρτίας μολυσμούς, οἵτινές εἰσιν ἥ τε πρὸς τὸ κακὸν ἑτοιμότης καὶ ἡ πρὸς τὸ ἀγαθὸν δυσχέρεια, καὶ τοσούτῳ μᾶλλον, ὅσῳ αἱ τοιαῦται ἀσθένειαι ἐγγύτερόν εἰσι τῇ ἁμαρτίᾳ ἢ ἡ σωματικὴ ἀρρωστία· ὧν ἀσωμάτων νόσων διὰ μετανοίας θεραπεύεσθαι ὀφειλουσῶν καὶ τῶν αὐτῆς ἔργων, ὡς εἴρηται, τοῖς διὰ ῥᾳθυμίαν ἢ τοὺς ποικίλλους περισπασμοὺς τῆς ζωῆς, ἢ καὶ διὰ τὴν τοῦ χρόνου βραχύτητα, ἢ καὶ δι' ἄλλα τοιαῦτα, μὴ διὰ μετανοίας θεραπεύσασι ταύτας τελείως, ἀναπληροῖ τουτὶ τὸ μυστήριον τὴν χρείαν τῆς θεραπείας, καὶ τῆς ἐνοχῆς τῆς προσκαίρου καταδίκης ἀπαλλάττει, ὥστε μὴ δύνασθαι ὑπολείπεσθαί τι κώλυμα τοῦ τυχεῖν ἐν τῇ ἐξόδῳ τῆς ἐλπιζομένης δόξης ἐκείνης. Καὶ διὰ τοῦτο προστίθησιν ὁ Ἰακώβος· „Καὶ ἐγερεῖ αὐτὸν ὁ Κύριος". Ἀλλὰ καὶ πρὸς τὰς ἐν ἀγνοίᾳ ἁμαρτίας ἢ μὴ μνημονευομένας δύναμιν ἔχει, ἃς οὐχ οἷόν τε μετανοίᾳ καθαίρεσθαι, καὶ πρὸς τὰς καθημερίνας ἁμαρτίας, ὧν ἄνευ οὐκ ἔνι τὴν παροῦσαν ζωὴν διελθεῖν, ὧν πάντων ἐν τῇ ἐξόδῳ τὸν ἄνθρωπον ἀνάγκη καθαίρεσθαι διὰ τούτου τοῦ μυστηρίου, ὥστε μηδὲν ἐν αὐτῷ εὑρεθῆναι ὃ τῷ τυχεῖν τῆς δόξης ἐκείνης ἐναντιώσεται. Καὶ διὰ τοῦτο προστίθησιν

16 *ὅταν* **deux fois répété A** 18 **Iac. 5, 14-15** 33 **Iac. 5, 15**

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ὁ Ἰάκωβος· „Κἂν ἁμαρτίας ᾖ πεποιηκώς, ἀφεθήσεται αὐτῷ“. Ὅθεν τὸ μυστήριον τοῦτο ἔσχατόν ἐστι καὶ ὥσπερ ἐπισφράγισμα πάσης πνευματικῆς θεραπείας, δι᾿ ἧς ὁ ἄνθρωπος πρὸς τὴν δόξαν ἐκείνην προετοιμάζεται· ὅθεν, καὶ τελευταία χρίσις κατονομάζεται· ἐξ οὗ δῆλον, ὡς οὐ πᾶσιν ἀσθενοῦσι προσενεκτέον ἐστίν, ἀλλ᾿ οἳ δι᾿ ἀρρωστίαν δοκοῦσι πλησιάζειν τῷ τέλει, οἷς περιγινομένοις οὐδὲν κωλύει καὶ πάλιν προσάγειν αὐτὸ ἐν τῇ ὁμοίᾳ ἀνάγκῃ· οὐ γὰρ πρὸς τὸ καθιεροῦν τέτακται, ὡς τὸ βάπτισμα ἢ ἡ χρίσις, ἵνα μὴ δὶς γίνηται, μενούσης τῆς καθιερώσεως, ἕως ἂν ᾖ τὸ καθιερωμένον διὰ τὸ δραστήριον τῆς καθιερούσης δυνάμεως, ἀλλὰ πρὸς τὸ ὑγιάζειν. | Ἡ δὲ ὑγιαστικὴ θεραπεία τοσαυτάκις δίδοται, ὁσάκις καὶ f. 184 ἡ νόσος γίνεται.

Εἰ δὲ καὶ ἄλλοι τινὲς πλησιάζουσι τῷ θανάτῳ, ὥσπερ οἱ καταψηφισθέντες, ἀλλὰ μόνῳ τῷ ἀσθενοῦντι προσφέρεται, ὡς καθ᾿ ὁμοιότητα διδόμενον τῆς σωματικῆς θεραπείας, ἣ μόνῳ ἁρμόζει τῷ ἀσθενοῦντι. Ὥσπερ δὲ τὸ σωματικῶς ἀπολοῦον ὕδωρ ὕλη ἐστὶ τοῦ πνευματικῶς ἀπολούοντος μυστηρίου, οὕτω καὶ ἔλαιόν ἐστιν ἐνταῦθα ἡ ὕλη, ὅπερ δραστήριόν ἐστι πρὸς τὸ ὑγιάζειν σωματικῶς καὶ τὰς ἀλγηδόνας πραΰνειν.

Ὥσπερ δὲ ἡ σωματικὴ προσάγεται θεραπεία, τῇ τῆς ἀρρωστίας ἀρχῇ, οὕτω καὶ ἡ πνευματικὴ αὕτη θεραπεία τοῖς μέρεσι τοῦ σώματος, ἐξ ὧν ἡ τῆς ἁμαρτίας πρόεισιν ἀρρωστία, οἷά εἰσι τὰ ὄργανα τῶν αἰσθήσεων, καὶ αἱ χεῖρες, καὶ οἱ πόδες, δι᾿ ὧν τὰ τῆς ἁμαρτίας ἔργα τελοῦνται, ἢ ὡς τὸ ἔθος ἔχει τινῶν, οἱ νεφροί, οἷς ἡ τῆς λαγνείας δύναμις ἐνίδρυται.

Ἐπεὶ δὲ χάρις ἐν τούτῳ τῷ μυστηρίῳ χορηγεῖται, δι᾿ ἧς ἡ ἁμαρτία ἀφίεται, μόνων τῶν ἱερέων ἐστὶ διδόναι τὸ μυστήριον, ὧν ἡ τάξις ἐστὶ φανταστική. Οὐ χρεία δὲ ἐπισκόπου· οὐ γὰρ ὑπεροχήν τινα τὸ μυστήριον συνεισφέρει. Πλῆθος δὲ ἱερέων ζητεῖται, ὅτι πρὸς τὴν τελείαν ἀπαλλαγὴν καὶ μέγεθος ζητεῖται χάριτος, καὶ δεῖ πλείους εἶναι τοὺς βοηθοῦντας τῷ τέλει τοῦ μυστηρίου. Οὐδὲν ἧττον μέντοι τέλειον τὸ μυστήριον ἔσται, καὶ δι᾿ ἑνὸς γινόμενον ἱερέως τῇ πάσης τῆς ἐκκλησίας δυνάμει, ἧς ἐστιν ὑπηρέτης, καὶ ἧς τὸ πρόσωπον φέρει. Κωλύεται δὲ πολλάκις τὸ ἀποτέλεσμα τοῦ μυστηρίου διὰ τὴν τοῦ δεχομένου ὑπόκρισιν, ὡς κἀν τοῖς ἄλλοις συμβαίνει μυστηρίοις.

## LXXIV. — Περὶ τοῦ μυστηρίου τῶν τάξεων ἢ τῶν χειροτονιῶν.

Ἔδει τοίνυν τῶν μυστηρίων τὴν μεταχείρισιν δι᾿ ἀνθρώπων γίνεσθαι δύναμιν ἐχόντων πνευματικήν, δι᾿ ὧν ἂν ἡ πνευματικὴ χάρις διδοῖτο ἐν τῷ τῶν ὁρωμένων πραγμάτων εἴδει, ὡς ἐν τῇ πρὸς Ἑβραίους λέγεται·

1 Iac. 5, 15



Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

„Πᾶς ἀρχιερεὺς ἐξ ἀνθρώπων λαμβανόμενος, ὑπὲρ ἀνθρώπων καθίσταται τὰ πρὸς τὸν Θεόν“· ἄλλως τε ἡ τῶν μυστηρίων ἀρχὴ καὶ δύναμις ἀπὸ Χριστοῦ τὴν ἀρχὴν ἔχει, ὃς „Ἠγάπησε τὴν Ἐκκλησίαν“, κατὰ τὸν Ἀπόστολον ἐν τῇ πρὸς Ἑβραίους, „καὶ ἑαυτὸν δέδωκεν ὑπὲρ αὐτῆς, ἵνα αὐτὴν ἁγιάσῃ“· ὃς τὸ μυστήριον τῆς εὐχαριστίας παραδέδωκεν αὐτόν, τὸ τῶν μυστηρίων ἀρχοειδέστατον, καὶ ἐπέταξε συνεχῶς τοῦτο ἐπιτελεῖν. Ἐπεὶ οὖν ἔμελλε τὴν σωματικὴν ἑαυτοῦ παρουσίαν ἀφαιρεῖν τῆς Ἐκκλησίας, διακόνους
f. 184v ἑαυτοῦ κατεστήσατο, τοῦτο μὲν τὴν τοῦ | ἰδίου σώματος καὶ αἵματος ἱερουργίαν παρατιθεὶς ἐν τῷ· „Τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν“· τοῦτο δὲ δύναμιν ἀποδιδοὺς τοῦ ἀφιέναι ἁμαρτίας ἐν τῷ· „Ὧν ἂν ἀφῆτε τὰς ἁμαρτίας, ἀφίενται αὐτοῖς“. Συνῆψε καὶ τὴν τοῦ βαπτίζειν καὶ διδάσκειν δύναμιν ἐν τῷ· „Πορευθέντες βαπτίζετε“ καὶ τὰ ἑξῆς. Ἐπεὶ δὲ τὸ ὄργανον δεῖ οἰκείως ἔχειν πρὸς τὸν κινοῦντα καὶ πρώτως ποιοῦντα, δεῖ καὶ τοὺς τοῦ Χριστοῦ διακόνους συμμόρφους αὐτῷ εἶναι, οἷον ἀνθρώπους μέν, μετέχοντας δέ τι τῆς ἐκείνου θεότητος κατά τινα πνευματικὴν δύναμιν, ἣν τοῖς ἀποστόλοις πρώτοις δεδομένην, εἶτα ἐκεῖθεν εἰς τοὺς διαδόχους ἐφεξῆς διαβαίνουσαν μέχρι τοῦ τέλους τοῦ κόσμου διαμένειν ἀνάγκη, αὐτοῦ εἰρηκότος ἐν τῷ κατὰ Ματθαῖον· „Ὃ λέγω ὑμῖν, πᾶσι λέγω“· καὶ ἐν τῷ τέλει τοῦ αὐτοῦ· „Ἰδοὺ ἐγὼ μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας μέχρι τῆς συντελείας τοῦ αἰῶνος“.

Φανερὸν τοίνυν, ὅτι καὶ ἐν τῇ τῆς πνευματικῆς ἐξουσίας δόσει μυστήριόν τι ἐπιτελεῖται. Ὅθεν καὶ ἐν αἰσθητοῖς συμβόλοις παραδίδοται, οἷς καὶ τὰ λοιπὰ μυστήρια χρῶνται.

Καὶ τοῦτο τὸ μυστήριον τάξεως λέγεται· δίδοται δὲ καὶ ἐν τούτῳ τῷ μυστηρίῳ χάρις, ὡς καὶ ἐν τοῖς λοιποῖς, ὡς προείρηται· ἡ δὲ τῶν βαθμῶν ἐξουσία θεωρεῖται μάλιστα κατὰ τὴν εἰς τὸ τῆς εὐχαριστίας μυστήριον παραβολήν, ὃ τελειότατον καὶ τελειοτικὸν τῶν ἄλλων ἐστίν· ἑπομένως δὲ αὐτὴ ἡ ἱερὰ ἐξουσία καὶ ἐπὶ τὴν τῶν ἁμαρτιῶν ἄφεσιν ἑαυτὴν ἐκτείνει διὰ τῶν μυστηρίων τοῦ βαπτίσματος καὶ τῆς μετανοίας, ἅ εἰσι πρὸς τὴν ἄφεσιν τῶν ἁμαρτιῶν τεταγμένα. Τῆς γὰρ αὐτῆς δυνάμεως εἶναι δοκεῖ τελειότητά τε τινὰ διδόναι καὶ τὴν ὕλην πρὸς τὴν ἐκείνης ὑποδοχὴν ἑτοιμάζειν, ὥσπερ τὸ πῦρ ἔχον δύναμιν τῷ ἑτέρῳ ἐμποιεῖν τὸ εἶδος αὐτοῦ, ἔχει καὶ δύναμιν τοῦ τὴν ὕλην διατιθέναι πρὸς τὴν τοῦ εἴδους ὑποδοχήν. Ὅθεν καὶ ὁ Κύριος τοῖς μαθηταῖς, μετὰ τῆς ἱερουργίας τοῦ ἰδίου σώματος, καὶ τὴν δύναμιν ἔδωκε τοῦ ἀφιέναι ἁμαρτίας, ἣν ἐξουσίαν αἱ κλεῖδες σημαίνουσιν, ὡς τοῦ οὐρανοῦ ἑκάστῳ ἢ ἀνοιγομένου ἢ κλειομένου καθόσον ἢ ἁμαρτίᾳ ὑπόκειται, ἢ κεκάθαρται ἀπὸ τῆς ἁμαρτίας· ὅθεν καὶ τὸ χρῆσθαι

1 Heb. 5, 1 3-4 Eph. 5, 25 9 Luc. 22, 19 10 Ioh. 20, 23 12 Matth. 28, 19
18 Marc. (non Matthieu) 13, 37 19 Matth. 28, 20

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ταῖς κλεισὶ ταύταις εἴρηται εἶναι δεσμεῖν καὶ λύειν, περὶ τῶν ἁμαρτιῶν δηλονότι, ὡς προείρηται.

### LXXV-LXXVI.

Ἐπὶ τούτοις ἦν κεφάλαιον περὶ τοῦ τῶν τάξεων διορισμοῦ, ὅπως οἵ μέν | εἰσι πρεσβύτεροι, οἳ δὲ διάκονοι, οἳ δὲ ὑποδιάκονοι, καὶ ἐφεξῆς f. 185 ἄλλοι, ὡς ἐπὶ τῶν τεχνῶν ἔχει, ὅτι αἵ μέν εἰσιν ἐπιτάττουσαι, αἳ δὲ δουλεύουσαι.

Εἶτα συνῆπτο κεφάλαιον ἕτερον περὶ τῆς ἐπισκοπικῆς ἐξουσίας, ὅτι τὸ κεφάλαιον τῆς ἀρχῆς τοῦ πιστοῦ λαοῦ εἰς τὴν ἐπισκοπικὴν ἀναφέρεται ἐξουσίαν· καὶ ἕτερά τινα συνῆπτο τούτῳ τῷ θεωρήματι, ἃ πάντα παρείθησαν ὑφ᾽ ἡμῶν, ὅτι οὐκ ἦν βαθύ τι ἐν αὐτοῖς καὶ ὃ τοὺς πολλοὺς λέληθεν.

### LXXVII. — Ὅτι καὶ διὰ τῶν πονηρῶν διακόνων ἱερουργεῖται τὰ μυστήρια.

Ὧ γάρ τι δι᾽ ἱερουργίας προσγίνεται, ἀεὶ ἐν αὐτῷ μένει· ὅθεν οὐδὲν καθιερωμένον δὶς τοῦτο πάσχει. Ἡ ἐξουσία τοίνυν τῆς τάξεως, ἐν τῷ τῆς Ἐκκλησίας διακόνῳ ἀεὶ μένει· οὐκ ἄρα ἀναιρεῖται δι᾽ ἁμαρτίας· καὶ διὰ τοῦτο δύνανται τὰ τῆς ἐκκλησίας μυστήρια καὶ παρὰ ἁμαρτωλῶν καὶ πονηρῶν ἐνεργεῖσθαι, ἐφόσον ἐκεῖνοι τὴν ἐκκλησιαστικὴν ἔχουσι τάξιν. Ἱκανὸς μέντοι γε, ἢ οὐχ ἱκανὸς πρὸς τὸ ταῦτα μεταχειρίζειν ἕκαστός ἐστι δι᾽ ἀρετήν, ἢ πονηρίαν· ἡ δὲ δύναμις τοῦ ἐνεργεῖν οὐ τὴν ἱκανότητα αὐτοῦ ζητεῖ τοῦ διακόνου, ἀλλὰ τῷ σκοπῷ τοῦ πρώτου ποιοῦντος ἀκολουθεῖ, οὗ καὶ ἡ δύναμις· σκοπὸν δέ ἐστιν αὐτῷ τὸ τοὺς πιστοὺς ἁγιάζεσθαι διὰ τῶν εἰς τοῦτο τεταγμένων ὀργάνων. Ἵνα τοίνυν τὴν ἐλπίδα τῆς σωτηρίας ἡμῶν ἐν μόνῳ τιθώμεθα τῷ Χριστῷ, ὅς ἐστι Θεὸς καὶ ἄνθρωπος, δεῖ θαρρεῖν, ὅτι τὰ μυστήρια διὰ τὴν αὐτοῦ δύναμιν σωτηριώδη εἰσίν, εἴτε δι᾽ ἀγαθῶν, εἴτε διὰ φαύλων οἰκονομοῖντο, τῆς αὐτῶν φαυλότητος καὶ ἀρετῆς ἰδίως τῷ Θεῷ κρινομένης τῷ τὰ ἀπόρρητα τῆς καρδίας ἐρευνῶντι. Καὶ διὰ τοῦτο ἐν τῷ κατὰ Ματθαῖον λέγεται· „Ἐπὶ τῆς Μωσέως καθέδρας ἐκάθισαν οἱ γραμματεῖς καὶ οἱ φαρισαῖοι· ὅσα ἂν οὖν εἴπωσιν ὑμῖν τηρεῖν, τηρεῖτε καὶ ποιεῖτε, κατὰ δὲ τὰ ἔργα αὐτῶν μὴ ποιεῖτε". Πολλῷ δὲ μᾶλλον ὑπακούειν δεῖ τοῖς τὴν διακονίαν παρὰ Χριστοῦ δεξαμένοις ἢ τοῖς ἀπὸ τῆς καθέδρας Μωσέως· τὸ δὲ τἀναντία περὶ τούτου φρονεῖν αἱρετικόν ἐστιν.

### LXXVIII. — Περὶ τοῦ μυστηρίου τοῦ γάμου.

Ἀλλὰ καὶ ὁ γάμος, καθόσον ἐν τῇ τοῦ ἀνδρὸς καὶ τῆς γυναικὸς συναφείᾳ συνίσταται, σκοπούντων πρὸς τὴν τοῦ Θεοῦ λατρείαν γεννῆσαι

---

29 Matth. 23, 2-3



Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

καὶ ἀναθρέψασθαι τέκνον καὶ πρὸς τὴν τῆς Ἐκκλησίας διαμονὴν ἐν τῇ τῶν πιστῶν συναθροίσει, οὐ μόνον πρὸς τὴν τοῦ εἴδους ἢ τοῦ πολιτικοῦ ἀγαθοῦ διαμονήν, μυστήριόν ἐστιν, καὶ τῇ ἐκκλησιαστικῇ ἀρχῇ ὑπόκειται. f. 185v Ὅθεν, καὶ | εὐλογία τις δίδοται τοῖς γάμῳ συναπτομένοις παρὰ τῶν τῆς Ἐκκλησίας διακόνων, καὶ διὰ τῆς συναφείας αὐτοῦ ἡ τοῦ Χριστοῦ καὶ τῆς Ἐκκλησίας σημαίνεται συνάφεια, ὡς ἐν τῇ πρὸς Ἐφεσίους· „Τὸ μυστήριον τοῦτο μέγα ἐστίν· ἐγὼ δὲ λέγω εἰς Χριστὸν καὶ εἰς τὴν Ἐκκλησίαν“. Δίδοται δὲ τοῖς συναπτομένοις καὶ χάρις, ὡς ἐν τοῖς ἄλλοις μυστηρίοις, δι᾽ ἧς ἑνοῦνται τῷ Χριστῷ καὶ τῇ Ἐκκλησίᾳ, καὶ ἀναλόγως ἔχουσι τῇ τοῦ Χριστοῦ καὶ τῆς Ἐκκλησίας ἑνώσει, ὡς ἂν δηλονότι τῷ τῶν σαρκικῶν καὶ τῶν τοῦ βίου φροντίζειν τοῦ Χριστοῦ καὶ τῆς Ἐκκλησίας μὴ διαζευγνύοιντο.

Τρία οὖν εἰσι τοῦ γάμου ἀγαθά, καθό ἐστι τῆς Ἐκκλησίας μυστήριον· τέκνον δηλονότι πρὸς τὴν τοῦ Θεοῦ λατρείαν ἀναστραφησόμενον, πίστις, καθ᾽ ἣν εἷς ἀνὴρ μιᾷ συνάπτεται γυναικί, καὶ τὸ ἀδιαίρετον, καθὸ μάλιστα τῆς συναφείας τοῦ Χριστοῦ πρὸς τὴν Ἐκκλησίαν ἐστὶ δηλωτικόν, εἰρηκότος· „Ἐγὼ μεθ᾽ ὑμῶν εἰμὶ πάσας τὰς ἡμέρας ἕως τῆς συντελείας“, καὶ τοῦ Ἀποστόλου λέγοντος ἐν τῇ πρὸς Θεσσαλονικεῖς, ὅτι „ἀεὶ σὺν Κυρίῳ ἐσόμεθα“.

## LXXIX. — Ὅτι ἔστι μέλλουσα τῶν σωμάτων ἀνάστασις.

Ἐπεὶ δὲ διὰ τὴν ἁμαρτίαν τοῦ πρώτου ἀνθρώπου καὶ εἰς πάντας διέβη οὐ μόνον ἡ ἁμαρτία, ἀλλὰ καὶ ὁ θάνατος, ὅς ἐστι δίκη τῆς ἁμαρτίας, ἣν δὲ ἀνάγκη καὶ ἀμφοῖν ἐλευθερωθῆναι διὰ Χριστοῦ, καὶ διὰ τοῦτο, ἵνα ἑκάτερον ἡμῖν ἐν ἑαυτῷ ὑποδείξῃ, καὶ θανεῖν καὶ ἀναστῆναι εὐδόκησεν· ἀποθανεῖν μέν, ἵνα τῆς ἁμαρτίας καθάρῃ, ὡς ἐν τῇ πρὸς Ἑβραίους λέγεται· „Ὥσπερ ὡρισμένον ἐστὶ τοῖς ἀνθρώποις ἅπαξ ἀποθανεῖν, οὕτω καὶ ὁ Χριστὸς ἅπαξ προσηνέχθη εἰς τὸ ἁμαρτίας ἐξαλεῖψαι πολλῶν· ἀναστῆναι δέ, ἵν᾽ ἡμᾶς τοῦ θανάτου ἐλευθερώσῃ, ὡς ἐν τῇ πρὸς Κορινθίους· „Χριστὸς ἐκ νεκρῶν ἐγήγερται, ἀπαρχὴ τῶν κεκοιμημένων, ὅτι δι᾽ ἀνθρώπου ὁ θάνατος, καὶ δι᾽ ἀνθρώπου ἀνάστασις νεκρῶν“· — ἐπεὶ ταῦθ᾽ οὕτως ἔχει, τὸ μὲν τοῦ θανάτου τοῦ Χριστοῦ ἀποτέλεσμα ἐν τοῖς μυστηρίοις λαμβάνομεν, ὅσον πρὸς τὴν τῆς ἁμαρτίας ἄφεσιν, ἃ τῇ δυνάμει τοῦ Χριστοῦ ἐνεργεῖ· τὸ δ᾽ ἀποτέλεσμα τῆς ἀναστάσεως τοῦ Χριστοῦ, ὅσον πρὸς τὴν τοῦ θανάτου ἀπαλλαγήν, ἐν τῷ τῶν αἰώνων τέλει ληψόμεθα, ὅταν πάντες διὰ τῆς τοῦ Χριστοῦ δυνάμεως ἀναστῶμεν, ὡς ἐν τῇ ἀρχῇ τῆς πρὸς Κορινθίους λέγεται πρώτῃ· „Εἰ Χριστὸς κηρύττεται ὅτι ἀνέστη ἐκ νεκρῶν, πῶς τινες λέγουσιν ἐν ὑμῖν, ὅτι ἀνάστασις νεκρῶν

6 Eph. 5, 32 17 Matth. 28, 20 18 I Thess. 4, 16 26 Heb. 9, 27, 28
29 I Cor. 15, 20, 21 36 I Cor. 15, 12-14

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

οὐκ ἔστι;“ καὶ τὰ ἑξῆς. Ἔστι τοίνυν ἀναγκαῖον πρὸς τὸ πιστεύειν ἀνάστασιν νεκρῶν ἐσομένην φρονεῖν.

Ἐπεὶ δὲ τὰ περὶ τῆς ἀναστάσεως λεγόμενα τινὲς ἐπὶ τὴν πνευματικὴν f. 186 ἀνάστασιν μεταφέροντες, καθ᾽ ἣν τινες ἐκ τοῦ θανάτου τῆς ἁμαρτίας διὰ τῆς χάριτος ἀνίστανται, τὴν μέλλουσαν τῶν σωμάτων ἀνάστασιν οὐ πιστεύουσιν, πρῶτον μὲν αὐτὸς ὁ Ἀπόστολος ἀποδοκιμάζει τὴν αἵρεσιν φανερῶς. Ἐν γὰρ τῇ πρὸς Τιμόθεον· „Τὰς δὲ μωρὰς καὶ ἀπαιδεύτους, φησί, ζητήσεις παραιτοῦ· πολὺ γὰρ προκόπτουσιν εἰς ἀσέβειαν, καὶ ὁ λόγος αὐτῶν ὡς γάγγραινα νομὴν ἕξει, ὧν ἐστιν Ὑμέναιος καὶ Φιλητός, οἳ τῆς ἀληθείας ἐξέπεσον, λέγοντες τὴν ἀνάστασιν τῶν νεκρῶν ἤδη γενέσθαι“· ὅπερ ἀδύνατον νοεῖσθαι [εἰ μὴ] περὶ τῆς πνευματικῆς ἀναστάσεως.

Ἔτι, ἐν τῇ πρὸς Κορινθίους λέγει· „Σπείρεται σῶμα ψυχικόν, ἐγείρεται σῶμα πνευματικόν“· καὶ ἐπάγει· „Ἀνάγκη τὸ φθαρτὸν τοῦτο ἐνδύσασθαι ἀφθαρσίαν, καὶ τὸ θνητὸν τοῦτο ἐνδύσασθαι ἀθανασίαν“, τὸ σῶμα δηλονότι τοῦτο· καὶ ὁ Κύριος ἐν τῷ κατὰ Ἰωάννην περὶ τῆς πνευματικῆς ἀναστάσεως πρῶτον εἰπών, εἶτα περὶ τῆς σωματικῆς ἐπάγει· „Ἔρχεται ὥρα, ἐν ᾗ πάντες οἱ ἐν τοῖς μνημείοις ἀκούσονται τῆς φωνῆς τοῦ Υἱοῦ τοῦ Θεοῦ“· ἐν δὲ τοῖς μνημείοις οὐ ψυχαί, ἀλλὰ σώματα· καὶ ἐν τῷ Ἰὼβ διαρρήδην ἡ ἀνάστασις τῶν σωμάτων προαγγέλλεται· „Οἶδα, ὅτι ὁ λυτρωτής μου ζῇ, καὶ ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ ἀναστήσομαι ἐκ τῆς γῆς, καὶ πάλιν περικαλύψει με τὸ δέρμα μου, καὶ ἐν σαρκί μου ὄψομαι τὸν Θεόν“.

Ἔτι, καὶ τῷ λόγῳ συμβαῖνον δείκνυται· φανερὸν γάρ, ὡς ἡ ψυχὴ φύσει ἥνωται τῷ σώματι ὡς εἶδος αὐτοῦ, καὶ ἡ διάστασις αὐτῶν παρὰ φύσιν ἐστίν· οὐδὲν δὲ παρὰ φύσιν ἀΐδιον· διαμένουσα δὲ ἀεί — ἄφθαρτος γάρ — συναφθήσεταί ποτε τῷ σώματι, ὅπερ ἐστὶ τὸ ἀνίστασθαι τοὺς ἀνθρώπους τοῖς σώμασιν.

Ἔτι, ἡ κεχωρισμένη τοῦ σώματος ψυχὴ ἀτελής ἐστι τρόπον τινά, ὥσπερ πᾶν μέρος ἐκτὸς ὂν τοῦ ὅλου· ἡ δὲ ψυχὴ φύσει τῆς ἀνθρωπίνης φύσεως μέρος ἐστίν. Ἐφίεται δὲ φύσει ὁ ἄνθρωπος τῆς μακαριότητος, καὶ τὸ ἐλλεῖπον τινὶ τοῦ τελείου οὔπω τὴν τελείαν ἔχει μακαριότητα, οὔπω τῆς ἐφέσεως ἠρεμούσης. Οὔτε οὖν ἐν τῇ παρούσῃ ζωῇ δύναται τῆς ἐσχάτης μακαριότητος ἐφικέσθαι, οὔτε ἐκεῖ τεύξεται, μὴ πάλιν συναπτομένης τῷ σώματι τῆς ψυχῆς.

Ἔτι, ἐκ ψυχῆς καὶ σώματος ὄντες οἱ ἁμαρτάνοντες ἐνταῦθα, ἢ ὀρθῶς βιοῦντες, κἀκεῖ κατά τε σῶμα καὶ ψυχὴν τὸ ἆθλον ἕξουσιν, ἢ τὴν δίκην.

7 II Tim. 2, 16-18 12 I Cor. 15, 44 13 I Cor. 15, 53 16 Ioh. 5, 25 19 Iob, 19, 25

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

## LXXX-LXXXI.

f. 186v Τούτοις προσέκειτο κεφάλαιον, ἀντιθέσεις τινῶν κατὰ τῆς τῶν σωμάτων ἀναστάσεως.

Εἶτα ἕτερον κεφάλαιον, λύσεις τῶν ἀντιθέσεων ἐκείνων, ἃ παρείθη ἡμῖν ὡς οὐ πάνυ ἀναγκαῖα· ἀρκεῖ γὰρ τὰ εἰρημένα περὶ ἀναστάσεως τοῖς πιστεύουσι· τοῖς δὲ ἀπιστοῦσιν οὐδὲν ἂν ἀρκέσειεν.

Ἰστέον δὲ ὅτι, κατὰ τὰς τῆς πίστεως ὑποθέσεις, ὁ Θεὸς ἐν τῇ τοῦ ἀνθρωπίνου γένους κατασκευῇ ἀπένειμέ τι τῷ ἀνθρωπίνῳ σώματι πλέον ἢ ὅσον ἐκ τῶν φυσικῶν ἀρχῶν ὠφείλετο τούτῳ, τουτέστιν ἀφθαρσίαν τινά, δι' ἧς οἰκείως ἂν τῷ ἑαυτοῦ εἴδει ἡρμόζετο, ἵν' ὥσπερ ἐν τῇ ψυχῇ διηνεκής ἐστι ζωή, οὕτω καὶ τὸ σῶμα ζῆν ἠδύνατο ἂν διὰ τῆς ψυχῆς συνεχῶς. Καὶ αὕτη ἡ ἀφθαρσία, εἰ καὶ μὴ φυσικὴ ἦν ὅσον πρὸς τὴν τῶν ἐνεργειῶν ἀρχήν, ἦν μέντοι φυσικὴ ἐκ τῆς πρὸς τὸ τέλος τάξεως, ὥστε δηλονότι τὴν ὕλην ἀναλόγως ἔχειν τῷ ἑαυτῆς φυσικῷ εἴδει, ὅπερ ἐστὶ τέλος τῆς ὕλης. Τῆς ψυχῆς τοίνυν παρὰ τὴν τῆς ἑαυτῆς φύσεως τάξιν ἀποστραφείσης Θεόν, ἀφῄρηται ταύτης ἡ ἕξις ἐκείνη, ἥτις θεόθεν ἐδόθη τῷ σώματι, ὥστ' αὐτῇ ἀναλόγως ἔχειν, καὶ διὰ τοῦτο ἠκολούθησε θάνατος. Ἔστι τοίνυν ὁ θάνατος ὥσπερ κατὰ συμβεβηκὸς ἐπελθὼν τῷ ἀνθρώπῳ δι' ἁμαρτίαν, εἴ τις τὸν σκοπὸν τῆς ἀνθρωπίνης φύσεως θεωροίη· τοῦτο δὲ τὸ συμβεβηκὸς ἀνῄρηται διὰ τοῦ Χριστοῦ, ὃς τῇ τοῦ ἰδίου πάθους ἀμοιβῇ τὸν θάνατον τῷ θανάτῳ κατέβαλεν. Τούτῳ τοίνυν ἕπεται τό, τῇ θείᾳ δυνάμει ἀφθαρσίας δεδωρημένης τῷ σώματι, πάλιν αὐτὸ ἀπὸ θανάτου πρὸς ζωὴν μετασκευασθῆναι. Μία γὰρ δύναμις ἦν ἡ καὶ τὴν πρὸ τῆς ἁμαρτίας ἀφθαρσίαν τῷ ἀνθρωπίνῳ σώματι δεδωκυῖα (εἰ καὶ μὴ κατὰ ἀπόφασιν, ἀλλὰ προσδιωρισμένως, ὥστε δύνασθαι ἂν διαμένειν ἄφθαρτον καὶ ἀθάνατον τὸν ἄνθρωπον, εἴπερ τηρεῖν τὴν τάξιν ἐβούλετο) καὶ ἡ τὸ σῶμα τοῦ Χριστοῦ ἀναστήσασα, πάντων ὑποχωρησάντων αὐτῇ τῶν ἐκ τῆς φυσικῆς ἀκολουθίας ἀνισχόντων ἀπόρων. Ἡ αὐτὴ δὲ δύναμις καὶ τῶν ἄλλων τὰ σώματα ἀναστήσει· τοῦ γὰρ ἀναστῆσαι χάριν αὐτὰ καὶ τὴν ἀνθρωπίνην φύσιν ἀνακτῆσαι, τὴν ἀνθρωπίνην φύσιν ἀνέλαβεν ὁ Κύριος.

## LXXXII. — Ὅτι οἱ ἄνθρωποι ἀθάνατοι ἀναστήσονται.

Ἀναστήσονται δὲ οἱ ἄνθρωποι οὐχ ὡς πάλιν ἀποθανούμενοι· ἡ γὰρ f. 187 τοῦ ἀποθνήσκειν ἀνάγκη ἀσθένειά τις ἐστίν, | ἐκ τῆς ἁμαρτίας τῇ ἀνθρωπίνῃ συμβᾶσα φύσει· ὁ δὲ Χριστὸς τῇ τοῦ ἑαυτοῦ πάθους ἀμοιβῇ τὰς τῆς φύσεως ἐπανώρθωσεν ἀσθενείας, τὰς ἐκ τῆς ἁμαρτίας, ὡς ἐν τῇ πρὸς Ῥωμαίους λέγεται, ὅτι· „Εἰ τῶν τοῦ ἑνὸς παραπτώματι οἱ πολλοὶ ἀπέθανον, πολλῷ μᾶλλον ἡ χάρις τοῦ Θεοῦ ἐν χάριτι τοῦ ἑνὸς ἀνθρώπου

37 Rom. 5, 15

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

Ἰησοῦ Χριστοῦ εἰς πολλοὺς ἐπερίσσευσεν“· δραστηριωτέρα γὰρ ἡ δύναμις τοῦ Χριστοῦ πρὸς τὸ τὴν ἁμαρτίαν καὶ τὰ ταύτης ἑπόμενα ἀνελεῖν ἢ τὸ τοῦ Ἀδὰμ ἁμάρτημα ὥστε εἰσαγαγεῖν. Ἀλλὰ καὶ τῷ ἀποστολικῷ ἐν τῇ πρὸς Κορινθίους, τῷ, „ἔσχατος καταργεῖται ὁ θάνατος“, τοῦτο νοεῖται, ὡς τῶν ἀναστησομένων οὐκέτι ἀποθανουμένων, ὥσπερ καὶ ὁ Χριστὸς „ἐγερθεὶς ἐκ νεκρῶν, οὐκέτι ἀποθνήσκει“, καθὼς ἐν τῇ πρὸς Ῥωμαίους λέγεται· Δεῖ γὰρ τὸ ἀποτέλεσμα τῇ αἰτίᾳ ἐξομοιοῦσθαι. Καὶ ἐν τῷ Ἡσαΐᾳ οὕτω προαγορεύεται· „Καταχρημνήσει Κύριος τὸν θάνατον εἰς τὸν αἰῶνα“· καὶ ἐν τῇ Ἀποκαλύψει λέγεται· „Θάνατος οὐκέτι ἔσται“.

## LXXXIII. — Ὅτι ἐν τοῖς ἀναστησομένοις οὐκ ἔσται χρῆσις σιτίων καὶ ἀφροδισίων.

Τῆς γὰρ φθαρτῆς ἀναιρεθείσης ζωῆς, καὶ τὰ τῇ φθαρτῇ ζωῇ δουλεύοντα ἀναιρεθήσονται· ἡ δὲ τῶν τροφῶν χρῆσις ταύτῃ δουλεύει, πρὸς ἀποτροφήν τε τῆς ἐκ τῆς πέψεως ἀκολουθούσης φθορᾶς ἀναπληροῦσα καὶ πρὸς αὔξησιν τοῦ τρεφομένου. Καὶ ἡ τοῦ ἄρρενος πρὸς τὸ θῆλυ συνέλευσις πρὸς τὴν γένεσιν λυσιτελεῖ, τὸ μὴ δυνάμενον ἀτομικῶς σῴζεσθαι φυλάττουσαν ἐν τῷ εἴδει. Ἀλλ' ἡ τῶν ἀνισταμένων ζωὴ ἐδείχθη ἄφθαρτος οὖσα· ὅθεν οὔτε ἀναλυθήσεταί τι τοῦ σώματος ἐκεῖ, οὔτε αὐξήσεως δεήσει τοῖς ἐν τῇ ὀφειλομένῃ ἡλικίᾳ ἀναστησομένοις, οὔτε σπέρμα ἔσται περίττωμα τῆς τροφῆς, κἀντεῦθεν οὐδὲ χρῆσις ἀφροδισίων, πρὸς ἣν ζητεῖται ἡ τοῦ σπέρματος ἔκκρισις. Ἀλλ' οὐδὲ ἡδονῆς εἵνεκα μόνης ταῦτα ἔσται ἐκεῖ ἄνευ τῆς εἰρημένης χρείας· πρῶτον μὲν γὰρ οὐδ' ἐνταῦθα ἡ μὴ πρὸς ἀνάγκην χρῆσις τῶν τοιούτων ἀλλὰ πρὸς ἡδονὴν ἐπαινεῖται, πολλῷ μᾶλλον ἔνθα ἡ ζωή ἐστι τεταγμένη· ἔπειτα ἡ τοῦ ἀνθρώπου μακαριότης ἐν τῷ τρίτῳ ἐδείχθη οὐχ ἐν ἡδονῶν καὶ ἀφροδισίων ἡδοναῖς οὖσα, ἢ δυναμένη εἶναι.

Ἔτι, καὶ γελοῖον ἂν εἴη τὸ τὰς ἄκρας ἡδονὰς ἀναμένοντας, τὰς ἐν τῇ τοῦ Θεοῦ θεωρίᾳ, ἥτις ἡμῖν καὶ τοῖς ἀγγέλοις ἔσται κοινή, καὶ τὰς σωματικὰς | ὁμοῦ προσδοκᾶν, ὧν ἡμῖν καὶ τὰ ἄλογα κοινωνεῖ. Ἐντεῦθέν (f. 187v) ἐστιν ὅ φησιν ὁ Κύριος ἐναργέστατα ἐν τῷ κατὰ Ματθαῖον, ὅτι „ἐν τῇ ἀναστάσει οὔτε γαμοῦσιν, οὔτε ἐκγαμίζονται, ἀλλ' ὡς ἄγγελοι Θεοῦ περιπατοῦσιν“· καὶ αὖθις· „Οὐκ ἔστιν ἡ βασιλεία τοῦ Θεοῦ βρῶσις καὶ πόσις“.

Ἐντεῦθεν ἀποσκορακίζεται ἡ τῶν Ἰουδαίων καὶ Σαρακηνῶν αἵρεσις, οἷς καὶ χριστιανοί τινες ἠκολούθησαν, τιθέντες τὴν μέλλουσαν τοῦ Χριστοῦ βασιλείαν χιλιετῆ καὶ γηΐνην καὶ ἐν τῇ γῇ, ἐν ᾧ διαστήματι, τοὺς ἀναστησομένους ἄμετρα ταῖς σαρκικαῖς σχολάσειν τρυφαῖς, οἳ Κοιλιανοὶ ὠνομάσθησαν ὑπὸ τῶν φρονούντων πνευματικῶς.

---

4 I Cor. 15, 26 6 Rom. 6, 9 8 Is. 25, 8 9 Apoc. 21, 4 30 Matth. 22, 30
36 *Κοιλιανοί* sic A

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

Ἐπεὶ δὲ τὸν Ἀδὰμ προβάλλονται οἱ τοιοῦτοι ἐν τῇ τῆς ἀπαθείας καταστάσει, καὶ τὸ μετὰ τὴν ἀνάστασιν φαγεῖν τὸν Χριστόν, καὶ ῥητά τινα γραφικά, τό· „Ἵνα ἐσθίητε καὶ πίνητε ἐπὶ τῆς τραπέζης μου ἐν τῇ βασιλείᾳ μου“, καὶ τὰ τοιαῦτα, πρὸς μὲν τὸ πρῶτον δεῖ λέγειν, ὡς ὁ Ἀδὰμ τελειότητα εἶχεν εἰδικήν, ἡ δὲ τελειότης τῶν ἀναστησομένων ἔσται τῆς ἀνθρωπίνης φύσεως ἀποκατάστασις εἰς τὴν ἀποκειμένην αὐτῇ τελειότητα, πληρωθέντος τοῦ τῶν ἐκλεκτῶν ἀριθμοῦ, ὃν ἔδει διὰ γεννήσεως καὶ τῶν πρὸς αὐτὴν ἀναγκαίως τεταγμένων γενέσθαι. Ὡς ἄλλης οὖν οὔσης ἐν τοῖς σώμασι τῶν ἀναστησομένων ἀθανασίας παρὰ τὴν ἐν Ἀδὰμ τότε, καὶ ἄλλης τελειότητος — οἳ μὲν γὰρ οὐκ ἀποθανοῦνται ἔτι· ὃ δὲ ἠδύνατο ἀποθνῄσκειν ἁμαρτών, καὶ μὴ ἀποθνῄσκειν μὴ ἁμαρτών —, οὐ δεῖ ἐκ τῶν τοῦ Ἀδὰμ καὶ περὶ τῶν ἀναστησομένων τῆς ζωῆς συμπεραίνειν.

Τὸ δὲ τὸν Χριστὸν φαγεῖν μετὰ τὴν ἀνάστασιν οὐ πρὸς ἀνάγκην, ἀλλὰ πρὸς τὸ τὴν ἀλήθειαν τῆς αὐτοῦ ἀναστάσεως δεῖξαι γέγονεν· ὅθεν ἡ τροφὴ ἐκείνη οὐκ εἰς σάρκα μετέβαλεν, ἀλλ' εἰς τὴν προϋποκειμένην ἀναλέλυται ὕλην. Αὕτη δὲ τοῦ ἐσθίειν ἡ αἰτία οὐκ ἔσται ἐν τῇ κοινῇ ἀναστάσει· τὰ δὲ ῥητὰ ἐκεῖνα πνευματικῶς δεῖ νοεῖν. Ἡ γὰρ θεία Γραφὴ τὰ νοητὰ καθ' ὁμοιότητα τῶν αἰσθητῶν παραδίδωσιν, ἵν' ὁ ἡμέτερος νοῦς, ἐξ ὧν οἶδεν, μάθῃ καὶ τὰ ὑπὲρ γνῶσιν ἀγαπᾶν, καὶ οὕτως ἡ ἐν τῇ τῆς σοφίας θεωρίᾳ ἡδονὴ καὶ ἡ ἐν τῷ ἡμετέρῳ νῷ νοητὴ τῆς ἀληθείας ἀνάληψις διὰ τῆς τῶν σιτίων χρήσεως εἴωθεν δηλοῦσθαι.

Περαιτέρω δὲ καὶ τοῦτο ληφθῆναι δυνατόν, ὅτι οἱ τῆς πρακτικῆς ζωῆς περισπασμοὶ παύσονται τότε, οἳ πρὸς τροφὴν καὶ ἀφροδίσια δοκοῦσι f. 188 τετάχθαι, καὶ πρὸς τὰ ἄλλα | τὰ τῇ φθειρομένῃ ζωῇ ἀναγκαῖα. Μόνος δὲ ὁ τῆς θεωρητικῆς ζωῆς περισπασμὸς τοῖς ἀνισταμένοις ἐναπομένει, ὡς ἐν τῷ κατὰ Λουκᾶν· „Μαρία δὲ τὴν ἀγαθὴν μερίδα ἐξελέξατο, ἥτις οὐκ ἀφαιρεθήσεται ἀπ' αὐτῆς“.

## LXXXIV. — Ὅτι τὰ σώματα ἐκεῖνα τῆς αὐτῆς ἔσονται φύσεως.

Ἡ γὰρ ἡμετέρα ἀνάστασις ὁμοειδής ἐστι τῇ Χριστοῦ ἀναστάσει, ὡς ἐν τῇ πρὸς Φιλιππησίους· „Μετασχηματίσει τὸ σῶμα τῆς ταπεινώσεως ἡμῶν, ὥστε συμμορφωθῆναι τῷ σώματι τῆς δόξης αὐτοῦ“. Ὁ δὲ Χριστὸς μετὰ τὴν ἀνάστασιν ψηλαφητὸν εἶχε σῶμα, ἐκ σαρκὸς συνεστὼς καὶ ὀστέων, ὡς ἐν τῷ κατὰ Λουκᾶν λέγεται· „Ψηλαφήσατέ με καὶ εἴδετε, ὅτι πνεῦμα σάρκα καὶ ὀστέα οὐκ ἔχει, καθὼς ἐμὲ θεωρεῖτε ἔχοντα“. Καὶ οἱ λοιποὶ ἄρα ἄνθρωποι ἀναστάντες σώματα ψηλαφητὰ ἕξουσιν ἐξ ὀστέων συγκείμενα καὶ σαρκῶν, οὔτε δὲ πνευματικὰ καὶ οἷον εἰπεῖν ἀσώματα, ὥς τινες

---

3 Luc. 22, 29 26 Luc. 10, 42 32 Phil. 3, 21 35 Luc. 24, 39

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

εἶπον· οὐ γὰρ μεταβάλλει εἰς ἄλληλα τὰ μὴ κοινωνοῦντα κατὰ τὴν ὕλην· αἱ δὲ ἀσώματοι οὐσίαι, ἄϋλοι πάντη· ἄλλως τε, εἰ εἰς ψυχὴν μεταβάλλει, εἰ μὲν τὴν αὐτήν, οὐκ ἐναλλαγήσεται διὰ τῆς ἀναστάσεως ἡ τοῦ ἀνθρώπου κατάστασις, ἀλλὰ ψυχὴ πάλιν ἔσται μόνον, ὡς καὶ πρὸ τῆς ἀναστάσεως ἦν· εἰ δεῖ εἰς ἑτέραν, ἕπεται ἐκ δυοῖν ἀσωμάτων οὐσιῶν ἕν τι γίνεσθαι κατὰ φύσιν, ὅπερ ἀδύνατον· πᾶσα γὰρ οὐσία ἀσώματος ὑφέστηκε καθ' αὑτήν. Ἀλλ' οὐδὲ ἀερώδη ἔσται τὰ σώματα, ὡς ἕτεροι εἶπον· ἀνάγκη γὰρ ἁπτικὸν εἶναι τὸ τοῦ ἀνισταμένου ἀνθρώπου σῶμα· οὐδὲν γὰρ ζῷον ἄνευ ἀφῆς· ἀνάγκη δὲ τὸ ἀνιστάμενον ζῷον εἶναι, εἰ μέλλοι ἄνθρωπος εἶναι· τὸ δ' ἀερῶδες οὐ δύναται ἁπτικὸν εἶναι, ὡς οὐδ' ἄλλο τι σῶμα ἁπλοῦν. Ἀλλ' οὐδὲ οὐράνια ἔσονται, ὡς ἄλλοι εἶπον· τοῖς γὰρ οὐρανίοις τὸ σφαιρικὸν οἰκεῖον, καὶ διὰ τοῦτο οὐ δύνανται ἀναλαβεῖν σχῆμα, ὃ φύσει τῷ ἀνθρωπίνῳ ὀφείλεται σώματι.

## LXXXV. — Ὅτι τὰ σώματα τότε, εἰ καὶ τοῦ αὐτοῦ εἴδους ἔσονται καὶ φύσεως τῆς νῦν, ἀλλ' ἑτέρας διαθέσεως.

Πρῶτον μέν, καθόσον πάντα, εἴτε τῶν ἀγαθῶν εἴτε τῶν πονηρῶν, ἄφθαρτα ἔσονται, ἕνα μὲν τρόπον διὰ τὸ κοινὸν πᾶσι τῆς ἀναστάσεως τέλος, ἵν' ἐν αὐτοῖς τοῖς σώμασιν ἀμοιβὰς ἢ τιμωρίας διηνεκεῖς ἀπολάβωσιν· δεύτερον, ἵνα ταῖς πάντων ψυχαῖς, ἀθανάτοις οὔσαις καὶ ἀφθάρτοις, τὰ πάντων συνᾴδῃ σώματα· τρίτον, ὅτι ὁ τὰ φθαρέντα πρὸς τὴν ζωὴν ἐπαναγαγὼν πολλῷ | μᾶλλον δώσει τοῖς ἀναβεβιωκόσι τὸ τὴν ζωὴν αὐτῶν δια- f. 188v
μένειν· τὸ γὰρ νῦν φθαρτὸν σῶμα ἄφθαρτον τῇ θείᾳ δυνάμει ἀποδειχθήσεται οὕτως, ὥστ' αὐτοῦ τελείως τὴν ψυχὴν ἄρχειν κατὰ τὸ ζωοποιεῖν αὐτό, τῆς τοιαύτης συναφείας ὑπὸ μηδενὸς ἄλλου δυναμένης κωλύεσθαι. Ὅθεν καὶ ὁ Ἀπόστολος ἐν τῇ πρὸς Κορινθίους φησίν· „Ἀνάγκη γὰρ τὸ φθαρτὸν τοῦτο ἐνδύσασθαι ἀφθαρσίαν“· τοῦτο, φησίν· οὐχ ἕτερον ἀναληφθήσεται ἄφθαρτον τοῖς ἀνθρώποις· καὶ τό, „σὰρξ καὶ αἷμα βασιλείαν Θεοῦ οὐ κληρονομήσουσι“, τοῦτο βούλεται, ὅτι ἐν τῇ ἀναστάσει, τοῦ αἵματος καὶ τῆς σαρκὸς ἡ φθορὰ ἀναιρεθήσεται, τῆς οὐσίας μέντοι μενούσης τῆς σαρκὸς καὶ τοῦ αἵματος· ὅθεν προστίθησιν· „Οὐδὲ ἡ φθορὰ τὴν ἀφθαρσίαν κληρονομεῖ“.

## LXXXVI. — Περὶ τῆς ποιότητος τῶν δεδοξασμένων σωμάτων.

Ἀλλ' εἰ καὶ τῇ τοῦ Χριστοῦ χάριτι τὸ τῆς φύσεως ἐλλιπὲς ἀναιρεθήσεται ἐν τῇ ἀναστάσει κοινῶς ἐκ πάντων τῶν ἀγαθῶν τε καὶ τῶν πονηρῶν, ὑπολειφθήσεται μέντοι διαφορά τις ἐν τοῖς κατὰ τὸ πρόσωπον

---

26 I Cor. 15, 53 28 I Cor. 15, 50 31 Ibid.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ἑκατέρων προσήκουσιν. Τὸ μὲν γὰρ τὴν ἀνθρωπίνην ψυχήν, συνοῦσαν τῷ σώματι, ζωοποιεῖν αὐτὸ καὶ συνέχειν κατὰ τὸν λόγον ἐστὶ τῆς φύσεως· ἐκ δὲ τῶν ἰδίων ἔργων ἕκαστος ἀξιοῦται ἢ εἰς τὴν δόξαν τῆς θείας ἀναβῆναι θεωρίας, ἢ ἐξωσθῆναι τῆς ἐν αὐτῇ τάξεως διὰ τὴν ἁμαρτίαν. Πάντων ἄρα κοινῶς τὸ σῶμα διατεθήσεται πρὸς τὸ τῇ ψυχῇ οἰκεῖον κατὰ τὴν ἀφθαρσίαν καὶ τὴν ὑποταγήν, ἀλλὰ τῶν πρὸς τὴν θείαν ἀναχθεισῶν θεωρίαν ψυχῶν τὰ σώματα καὶ πλείονος τεύξεται· ὑποταγήσεται μὲν γὰρ αὐταῖς οὐ μόνον κατὰ τὸ εἶναι, ἀλλὰ καὶ ταῖς ἐνεργείαις καὶ ταῖς κινήσεσι καὶ τοῖς πάθεσιν καὶ ταῖς ποιότησιν. Καὶ πρῶτον μὲν κατὰ διάδοσιν τὴν τῆς λαμπρότητος τῆς ψυχῆς ἐνδυθήσεται δόξαν· ὅθεν ἐν τῇ πρὸς Κορινθίους πρώτῃ λέγεται· „Σπείρεται σῶμα ἐν ἀτιμίᾳ, ἐγείρεται ἐν δόξῃ". Τὸ γὰρ νῦν ἀντιφράττον ἔσται διαφανές. Ἀλλὰ καὶ κοῦφον ἔσται, ὥστε καθάπαξ τῷ πνεύματι πρὸς τὴν κίνησιν ὑπακούειν· καὶ τοῦτ' ἔστι τὸ ἀποστολικόν, τὸ „σπείρεται ἐν ἀσθενείᾳ, ἐγείρεται ἐν δυνάμει". Ἀλλὰ καὶ ἀπαθὲς ἔσται, ἄψαυστον παντὸς κακοῦ, καὶ κατὰ δύναμιν· οὐ γὰρ δυνήσεταί τι πάσχειν τῶν τοῖς σώμασι νῦν ἐπαχθῶς· καὶ κατ' ἐνέργειαν· οὐδεμία γὰρ ἔσται φθορὰ αὐτῷ οὐδὲ αἶσχος οὐδὲ στέρησις. Ἡ γὰρ ἀπάθεια ἐκείνη οὐκ ἐκβαλεῖ τὰ τῶν αἰσθήσεων πάθη· χρῄζουσι γὰρ τῶν τοιούτων παθῶν f. 189 τοῦ ἡδέος ἕνεκα, ὃ τῇ | τῆς ἀφθαρσίας οὐ μάχεται καταστάσει. Πρὸς τὸ δεῖξαι τοίνυν τὴν ἀπάθειαν φησίν ὁ Ἀπόστολος· „σπείρεται ἐν φθορᾷ, ἐγείρεται ἐν ἀφθαρσίᾳ".

Ἔτι γε μὴν καθάπερ ἡ ψυχὴ πρὸς τὴν τῶν οὐρανίων πνευμάτων μετεωρισθήσεται δόξαν, οὕτω καὶ τὸ σῶμα μετεωρισθήσεται πρὸς τὰς ἰδιότητας τῶν οὐρανίων σωμάτων· διαφανὲς γὰρ ἔσται, ἀπαθές, ἄνευ δυσχερείας καὶ πόνου, κινεῖσθαι δυνάμενον. Καὶ διὰ τοῦτο φησίν· „Σπείρεται σῶμα ψυχικόν, ἐγείρεται σῶμα πνευματικόν"· καὶ αὖθις· „Ἄλλη δόξα οὐρανίων σωμάτων, καὶ ἄλλη ἐπιγείων". Ὥσπερ γὰρ νῦν, εἰ καὶ μὴ ἔστι ψυχὴ τὸ σῶμα, ἀλλ' ὑπόκειται τοῖς ζωώδεσι πάθεσιν, οὕτω καὶ τότε, εἰ καὶ μὴ πνεῦμα ἔσται, ὥς τινες κακῶς ὑπενόησαν, ἀλλὰ παντάπασιν ὑποτεταγμένον τῷ πνεύματι. Ὥσπερ δὲ ἡ δόξα, εἰς ἣν ἡ ἀνθρωπίνη ψυχὴ ἀνάγεται, ὑπερβαίνει τὴν φυσικὴν δύναμιν τῶν οὐρανίων πνευμάτων, ὡς ἐν τῷ τρίτῳ δέδεικται, οὕτως ἡ δόξα τῶν ἀνισταμένων σωμάτων ὑπερβαίνει τὴν φυσικὴν τελειότητα τῶν οὐρανίων σωμάτων, ὥστ' εἶναι μείζω τὴν δόξαν, τὴν ἀπάθειαν βεβαιοτέραν, τὴν κουφότητα ῥᾴω, καὶ τὴν τῆς φύσεως ἀξίαν τελειοτέραν.

## LXXXVII. — Περὶ τοῦ τόπου τῶν δεδοξασμένων σωμάτων.

Τοῖς δὲ τὴν ἰδιότητα τῶν οὐρανίων σωμάτων ἔχουσι σώμασι καὶ τελειοτέραν, ὡς εἴρηται, ὁ οὐράνιος ἁρμόζει τόπος, μᾶλλον δὲ ὁ ὑπὲρ πάσας

---

11 I Cor. 15, 43 14 Ibid. 15, 43 20 Ibid. 15, 42 25 Ibid. 15, 44 26 Ibid. 15, 40

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006